

## ΑΠΡΙΛΙΟΥ ΙΓ΄

## Μνήμη τοῦ ἁγίου ἐνδόξου Νεομάρτυρος ΓΕΩΡΓΙΟΥ ἐν Πτολεμαΐδι ἀθλήσαντος, καὶ τῆς Μετακομιδῆς τῶν αὐτοῦ λειψάνων.

### ΕΙΔΗΣΙΣ.

Ιστέον ὅτι, ἐὰν ἡ μνήμη τοῦ Νεομάρτυρος συμπέσῃ ὸς τῆς περιόδου τῆς Μεγάλης Τεσσαρακοστῆς, αὕτη ατίθεται εἰς τὸ πλησιέστερον Σάββατον ἢ Κυριακὴν ψάλλεται ἐν συνδυασμῷ πρὸς τὴν ἀκολουθίαν τῆς ρας. Ἐὰν συμπέσῃ ἐντὸς τῆς Μεγάλης Ἑβδομάδος ἢ ὸς τῆς Διακαινησίμου, μετατίθεται εἰς μίαν μετὰ τὴν καινήσιμον ἡμέραν.

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ.

Ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ οσόμοια.

Ἦχος πλ. β΄. Αἱ ἀγγελικαί.

λῆσιν ἀληθῶς, τὴν φερώνυμον πλουτήσας, τὴν ἀθλητικήν, ἐγεώργησας ἀνδρείαν, Γεώργιε παμκαρ, καὶ νομίμως ἐνήθλησας, ὑπὲρ τῆς ἀγάπης ὁ Σωτῆρος, ὑστέροις χρόνοις καταισχύνας, ϑροῦ δύναμιν· διὸ τῆς δόξης τοῦ Χριστοῦ, λαμῶς κατηξίωσαι.

Σώματος ἀκμῇ, καὶ νεότητι ἐμπρέπων, ὤφθης εὐπρεπής, τῇ μορφῇ εὖ μάλα μάρτυς, τὸ κάλλος ὑποφαίνων, τῆς ψυχῆς σου Γεώργιε, ὅπερ τῶν αἱμάτων σου τοῖς ῥείθροις, πολλῷ λαμπρότερον εἰργάσω, καὶ Χριστοῦ σύμμορφος, ὡς ἀριστεύσας ἱερῶς, ἐδείχθης μακάριε.

Χαίρων τὸν Χριστόν, ὡμολόγησας ἀνδρείως, ἐπὶ δυσσεβῶν, καὶ κατῄσχυνας τὴν πλάνην, ἀθλητικῇ ἐνστάσει, καὶ τῷ κράτει τῆς πίστεως· ὅθεν σου τὸ σῶμα νεομάρτυς, δόξης πλησθὲν ἐπουρανίου, ταφῇ ἔδωκαν, οἱ εὐσεβεῖς ἁγιασμοῦ, τὴν χάριν δρεπόμενοι.

Ὥσπερ κιβωτόν, ἁγιάσματος ἡ Κύπρος, δέδεκται πιστῶς, ἡ βλαστήσασά σε μάρτυς, ἐκ τῆς Πτολεμαΐδος, τὸ μακάριον σῶμά σου, ἄρτι ἐνεχθὲν χερσὶν ὁσίαις, καὶ ἐκτελοῦσά σου τὴν μνήμην, φαιδρῶς κράζει σοι· Χαίροις Γεώργιε κλεινέ, σεμνόν μου γεώργιον.

Δόξα... Ἦχος α΄.

Ἐν γεωργίᾳ ἠθῶν ἀμέμπτων, πίστεως χάριτι κομῶν, ἀθλητικὴν καρποφορίαν, ἐξήνεγκας

Γεώργιε· νομίμως γὰρ ἀθλήσας, Δαυϊτικῶς ὡς φοῖνιξ ὤφθης, πεφυτευμένος ἐν αὐλαῖς τοῦ Θεοῦ, τοῖς καρποῖς τῶν ἄθλων σου, εὐφραίνων τὰς ψυχὰς ἡμῶν, καὶ πρεσβεύων ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν... Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

Εἰς τὸν Στίχον.

Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Κύπρος ἡ σὴ πατρίς, χαίρει τῇ σῇ ἀθλήσει, Γεώργιε τρισμάκαρ, καὶ τοῖς χαριτοβρύτοις, λειψάνοις σου μακάριε.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ὥρᾳ νεανικῇ, ἐν τοῖς ἐσχάτοις χρόνοις, τὸν ὄφιν τὸν ἀρχαῖον, Γεώργιε ἀθλήσας, αἰσχύνης πολλῆς ἔπλησας.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Σῶμά σου τὸ σεπτόν, ἐκ τῆς Πτολεμαΐδος, μετενεχθὲν εἰς Κύπρον, Γεώργιε πηγάζει, ἁγιασμοῦ τὰς χάριτας.

Δόξα... Τριαδικόν.

Δύναμιν παρὰ σοῦ, Τριὰς Ὑπεραγία, Γεώργιος ὁ νέος, λαβὼν τῶν ἐναντίων, τὸ κράτος κατεπάτησε.

Καὶ νῦν... Θεοτοκίον.

Μόνη τὸν Ποιητήν, ἀφράστως τετοκυῖα, Παρθένε Παναγία, αὐτὸν ἀεὶ δυσώπει, σῶσαι τοὺς σὲ δοξάζοντας.

Ἀπολυτίκιον.

(Ζήτει ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ).

Καὶ Ἀπόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ.

Μετὰ τὸν Προοιμιακόν, τό, **Μακάριος ἀνήρ**. Εἰς δὲ τό, **Κύριε ἐκέκραξα**, ἱστῶμεν Στίχους ς' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τοῦ Νεομάρτυρος, ἢ τῆς Ἑορτῆς γ' καὶ τοῦ Νεομάρτυρος γ'.

Ἦχος α'. Πανεύφημοι Μάρτυρες.

Γεώργιε νέε Ἀθλητά, Κύπρου ἐγκαλλώπισμα Χριστοῦ τῇ πίστει ῥωννύμενος, οὐδόλως ἔπτηξας, ἀπειλὰς τυράννων, καὶ μανίαν ἄσχετον· ἀλλ' ἔστης ἐν αὐτοῖς ἀκατάπληκτος, καὶ ὡμολόγησας, εὐσεβείας τὴν λαμπρότητα, καταπλήξας, τοῦ ψεύδους τὴν φάλαγγα.

Νεότητος ὥρᾳ εὐανθεῖ, διαλάμπων Ἅγιε, ἐπιβουλὴν δεινὴν ἤνεγκας, καὶ τὸ μαρτύριον ὑπὲρ τῆς ἀγάπης, τοῦ Σωτῆρος ἤνυσας, ἀνώτερος ἁπάντων γενόμενος, καὶ πολυώδυνον, ὡς ὑπέστης μάρτυς θάνατον, ἀθανάτου, ζωῆς ὤφθης μέτοχος.

Πολλῆς εὐφροσύνης καὶ χαρᾶς, ὄντως ἐπληρώθησαν, τὰ τῶν Κυπρίων συστήματα, ἡνίκα Ἅγιε, ἐκ Πτολεμαΐδος, τὰ σεπτά σου λείψανα, μετήγαγον εἰς χθόνα τὴν πάτριον, χάριν πηγάζοντα, ἁγιάζουσαν Γεώργιε, τοὺς ἐν πίστει τῇ σορῷ σου σπεύδοντας.

Ἕτερα Στιχηρὰ Προσόμοια.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε τῶν Κυπρίων οἱ χοροί, τοῦ Χριστοῦ τὸν νέον ὁπλίτην, κλεινὸν Γεώργιον, τὸν ἐκ Κύπρου λάμψαντα, ἀνευφημήσωμεν· καρτερῶς γὰρ ἐνήθλησεν, ἐν Πτολεμαΐδι, καὶ Χριστὸν ἐδόξασεν, οἰκείοις μέλεσι· Χαίροις πρὸς αὐτὸν ἐκβοῶντες, ἔμψυχον γεώργιον νέον, τοὺς καρποὺς ἀνθῆσαν τοὺς τῆς πίστεως.

Νέος ὢν τῷ σώματι σοφέ, γνώμην οὐρανόφρονα ἔσχες, καὶ βίον ἄμεμπτον· ὅθεν πᾶσαν ἤνεγκας, ἐχθροῦ τὴν ἔφοδον, ἀπτοήτῳ φρονήματι, καὶ τῆς δυσσεβείας, ἤμβλυνας τὴν ἔνστασιν, δυνάμει κρείττονι· ἔνθεν καὶ νομίμως ἀθλήσας, δόξης οὐρανίου μετέσχες, νεομάρτυς ἄ-

Ὅτε τὴν ἁγίαν σου σορόν, ἐκ Πτολεμαΐδος ἐν πίστει, εἰς Κύπρον ἤγαγον, τότε ταύτην Ἅγιε, ὡς θεῖον δώρημα, τῆς τοῦ Πνεύματος χάριτος, ἐν ἀγαλλιάσει, οἱ πιστοὶ ἐδέξαντο, ἀναβοῶντές σοι· Σκέπε τὴν πατρίδα σου μάρτυς, καὶ ἅπασαν πόλιν καὶ χώραν, εὐσεβῶν Γεώργιε μακάριε.

Δόξα... Ἦχος πλ. β'.

Σήμερον ὁ νεομάρτυς Γεώργιος, ὁ ἐν Πτολεμαΐδι ἀθλήσας, τὴν Ἐκκλησίαν εὐφραίνει, ἐν τῇ σεπτῇ αὐτοῦ μνήμῃ· ὡς γὰρ ἄνθος τοῦ ἔαρος, ἀθλητικὴν εὐωδίαν πνέει, τῇ αὔρᾳ τοῦ Πνεύματος, τοῖς ἐκβοῶσιν αὐτῷ· Χαίροις ὁ ἐν νεότητι σώματος, τὸν πτερνιστὴν τὸν ἀρχαῖον, ἀθλητικῶς καταπαλαίσας· Χαίροις τῶν πάλαι Μαρτύρων ἰσότιμος, ὡς τῶν ἀγώνων κοινωνός· Χαίροις τῆς Κύπρου βλάστημα σεπτόν, τῆς Ἐκκλησίας νέον ἄστρον, καὶ Ὀρθοδόξων καύχημα· ὑπὲρ ὧν Χριστὸν ἱκέτευε, ἀθλητὰ θεόφρον, πάσης ῥύεσθαι θλίψεως.

Καὶ νῦν... Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, ἢ τῆς τυχούσης Ἑορτῆς.

Εἴσοδος. **Φῶς ἱλαρόν**, καὶ τὸ Προκείμενον τῆς ἡμέρας.

Σημ.: Εἰ βούλει εἰπεῖν Ἀναγνώσματα, ἀνάγνωθι τὰ κατωτέρω διαλαμβανόμενα.

### Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

(Κεφ. μγ' 9 - 14).

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. γ' 1 - 9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. ε' 15 - ς' 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυ-

ρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν.

Στιχηρὰ Ἰδιόμελα.

Ἦχος α'.

Εὐφραίνου ἐν Κυρίῳ, ἡ μεγαλόνησος Κύπρος, Ἀποστόλων δόξη, Ἱεραρχῶν καὶ Ὁσίων πόνοις, καὶ Μαρτύρων αἵμασι λαμπρυνομένη, ὅτι καὶ νέων Ἀθλητῶν, μήτηρ καλλίτεκνος ὤφθης· ἐκ σοῦ γὰρ ἐβλάστησεν, ὡς δῶρον πανεύοσμον, ὁ εἰς αἶνον προκείμενος, νεομάρτυς Γεώργιος, ὁ ἐν Πτολεμαΐδι νομίμως ἀθλήσας· οὗ τῶν λειψάνων τὴν σορόν, ὑπτίαις χερσὶ δεξαμένη, καὶ μητρικῶς ἐγκολπωσαμένη, τῷ Σωτῆρι βόησον· Κύριε, πρεσβείαις τοῦ σοῦ Μάρτυρος, παράσχου τῷ λαῷ σου, εἰρήνην καὶ μέγα ἔλεος.

Ὁ αὐτός.

Γεωργίᾳ τοῦ κρείττονος, τῆς εὐσεβείας τὰ ἄνθη γεωργῶν, μαρτυρικῶς εὐηρέστησας, τῷ Χριστῷ Γεώργιε· ὑπεραρθεὶς γὰρ τῶν γηΐνων, μυστικῶς ἐδέξω, τὴν ἄνωθεν ἔλλαμψιν· καὶ τοῖς ὅπλοις τοῦ φωτός, τὸν τοῦ σκότους καθελὼν προστάτην, ἀθλητικῆς εὐκλείας ἔτυχες, ὡς ἀθλητὴς ἐννομώτατος· Χριστὸν ὑπὲρ ἡμῶν ἱκέτευε, νεομάρτυς ἀήττητε.

Ὁ αὐτός.

Τῷ φθόνῳ τοῦ ὄφεως, ἀρετῆς περιουσίᾳ ἀντετάξω, τῇ θείᾳ στοιχειούμενος ἀγάπῃ, καὶ σωφροσύνης τῷ κάλλει, τὸν βίον φαιδρύνων· καὶ ἀπειλαῖς τυράννων μὴ καμφθείς, καὶ δωρεῶν χορηγίαις μὴ χαυνωθείς, τοῦ μαρτυρίου τὸ σκάμμα, ἀνδρειοφρόνως ὑπῆλθες· καὶ ὡς Μαρτύρων μιμητής, τῆς αὐτῶν εὐκληρίας ἠξιώθης, νεομάρτυς Γεώργιε, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Οὔτε νεότητος ἄνθος, οὔτε δεινῶν ἐπαγωγαί, τῆς ἐν Χριστῷ ὁμολογίας, ἐχώρισάν σε ἔνδοξε, ἀκλινῶς ἐρηρεισμένον, τῇ πέτρᾳ τῆς πίστεως· ἀλλ' ἀνενδότῳ ψυχῇ, τὸν τῶν Μαρτύρων θάνατον ζηλώσας, φονίαις βολίσι, καὶ μαχαιρῶν κατατομαῖς, τὸ μακάριον ἐδέξω τέλος. Ἀλλ' ὦ νέε ἀθλητὰ Γεώργιε, ὁ τοῖς σεπτοῖς σου ἡμᾶς λειψάνοις ἁγιάσας, πρέσβευε δεόμεθα Χριστῷ, δοῦναι ἱλασμὸν ταῖς ψυχαῖς ἡμῶν.

Δόξα... Ἦχος β'.

Τὸν νέον ἀθλητὴν Γεώργιον, τὸν εὐσεβείας ἄθλοις ἀριστεύσαντα, μαρτυρικοῖς ἐπαίνοις, πάντες πιστοὶ ἀναδήσωμεν· ὑπὲρ Χριστοῦ γὰρ καλῶς ἠγωνίσατο, καὶ τοῖς σεπτοῖς αὐτοῦ λειψάνοις, τῶν ἐπάθλων ὑπεμφαίνει τὸν πλοῦτον· ὧν τῇ θείᾳ μετακομιδῇ, εὐφράνθη ἡ Κύπρος, τοῦ οἰκείου βλαστοῦ τὴν δόξαν συνορῶσα· καὶ πάντας συγκαλεῖται, πρὸς μετοχὴν τῶν αὐτοῦ χαρίτων, δι' ὧν πᾶσι βραβεύει, τὰ σωτήρια αἰτήματα.

Καὶ νῦν... Θεοτοκίον. Τὴν πᾶσαν ἐλπίδα μου, ἡ τῆς τυχούσης Ἑορτῆς.

Εἰς τὸν Στίχον.

Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ νεομάρτυς Χριστοῦ, τῆς νήσου Κύπρου τὸ ἐξαίρετον βλάστημα· ὁ ἄρτι βότρυς κυπρίσας, καὶ ἀποστάξας ἡμῖν, μαρτυρίου γλεῦκος τὸ ἡδύτατον· ὁ κάλλει τοῦ σώματος, τῆς ψυχῆς τὴν εὐπρέπειαν, λαμπρῶς ἐκφήνας, καὶ ἀθλήσεως αἵμασιν, ὡραιότερος, πολλῷ μᾶλλον γενόμενος· ἄνθος τὸ εὐωδέστατον, καὶ κρίνον τὸ ἄφθαρτον, τὸ διαπνεῦσαν τοῖς πᾶσι, τὴν εὐωδίαν τῆς πίστεως. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Χαίροις ὁ νεομάρτυς Χριστοῦ, ὁ ἐν φρονήσει καὶ ψυχῆς γενναιότητι, τοῦ ὄφεως ἀκυρώσας, τὴν κατὰ σοῦ προσβολήν, καὶ Μαρτύρων ἄθλους μιμησάμενος, Γεώργιε ἔνδοξε, Ἀθλητῶν ἰσοστάσιε, ὁ τῶν τυράννων, καταπλήξας

τὸ φρόνημα, τῇ ἐνστάσει σου, καὶ ἀτρέπτῳ φρονήματι· ὅθεν κατατεμνόμενος, μαχαίραις τὸ σῶμά σου, τροπαιοφόρος ἀνῆλθες, πρὸς οὐρανῶν τὰ σκηνώματα, Χριστὸν ἱκετεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Κύπρος ἡ σὴ πατρὶς Ἀθλητά, ἀβρυνομένη τῇ ἁγίᾳ ἀθλήσει σου, ἐδέξατο γηθομένη τὴν σὴν σορὸν τὴν σεπτήν, ὡς τοῦ Παρακλήτου θεῖον σκήνωμα, ἣν ταύτῃ μετήγαγεν, οὐρανόθεν κινούμενος, ὁ Ποιμενάρχης, ὁ καλὸς ἡμῶν Ἅγιε, ὃν περίεπε, τῇ δοθείσῃ σοι χάριτι. Ὅθεν τὴν θείαν μνήμην σου, λαμπρῶς ἑορτάζομεν, καὶ προσπτυσσόμεθα πίστει, τὰ λείψανά σου Γεώργιε, ἐξ ὧν ἀναβλύζει, εὐφροσύνη τε καὶ ῥῶσις, καὶ θεῖον ἔλεος.

Δόξα... Ἦχος πλ. δ'.

Μαρτυρικῇ ἀνδρείᾳ, πρὸς τὴν ἁμαρτίαν μέχρις αἵματος, ἀντικατέστης Γεώργιε· τὸ οὐράνιον γὰρ πῦρ, ἀναφλέξαν τὴν ψυχήν σου, ὅλον ἐπτέρωσε, πρὸς ζωὴν τὴν ἀΐδιον· πρὸς ἣν διὰ θανάτου μετελθών, τῆς ἀθανάτου δόξης, κοινωνὸς ἐχρημάτισας. Καὶ νῦν τοὺς ἄθλους σου γεραίροντες, τὰ σεπτά σου λείψανα, εὐλαβῶς προσκυνοῦμεν, αἰτούμενοι διὰ σοῦ, δοθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν... Θεοτοκίον. Δέσποινα πρόσδεξαι, ἢ τῆς τυχούσης Ἑορτῆς.

Ἀπολυτίκιον.

Ἦχος γ'. Θείας πίστεως.

Θεῖον βλάστημα, τῆς Κύπρου πέλων, χαίρων ἤθλησας, ὑστέροις χρόνοις, καὶ κατῄσχυνας τὴν πλάνην Γεώργιε· ὅθεν τῇ θήκῃ τῶν θείων λειψάνων σου, ἡ σὴ πατρὶς ἁγιάζεται κράζουσα· Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα... Καὶ νῦν... Θεοτοκίον. Σὲ τὴν μεσιτεύσασαν, ἢ τῆς τυχούσης Ἑορτῆς.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα.

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ὡς νέον Ἀθλητήν, τοῦ Χριστοῦ σὲ τιμῶμεν, τελοῦντες εὐσεβῶς, τὴν ἁγίαν σου μνήμην, Γεώργιε μακάριε, Κύπρου ἄστρον νεόφωτον· ἣν διάσωζε, σαῖς πρὸς Χριστὸν ἱκεσίαις, παρεχόμενος, ταύτῃ τῆς σῆς προστασίας, τὰ θεῖα δωρήματα.

Δόξα... Καὶ νῦν... τῆς τυχούσης Ἑορτῆς ἢ τὸ ἀκόλουθον Θεοτοκίον.

Ὡς τέξασα Θεόν, μετὰ σώματος Κόρη, μηδόλως πρὸς τροπήν, ἢ φυρμὸν ὑπαχθέντα, ἀπαύστως καθικέτευε, οἷα μήτηρ πανάφθορος, δοῦναι ἅπασιν, ἁμαρτημάτων τὴν λύσιν, τοῖς προστρέχουσι, τῇ μητρικῇ σου πρεσβείᾳ, καὶ σὲ μεγαλύνουσι.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Δολίως ἐπῆλθέ σοι, ὁ παλαιὸς πτερνιστής, ἀλλ' εὗρέ σε ἄτρεπτον, ἐν τῇ ἑνώσει Χριστοῦ, παμμάκαρ Γεώργιε· ὅθεν ὁμολογήσας, τὴν Χριστώνυμον κλῆσιν, ἅπαν τὸ σῶμα μάρτυς, ἀπηνῶς κατετρώθης, καὶ ἔτρωσας καιρίως, ἐχθρὸν τὸν ἀλάστορα.

Δόξα... Καὶ νῦν... τῆς τυχούσης Ἑορτῆς ἢ τὸ ἀκόλουθον Θεοτοκίον.

Θεὸν σωματώσασα, τὸν ἐπὶ πάντων Ἁγνή, χαρᾶς ὤφθης πρόξενος, τοῖς ἀνυμνοῦσι πιστῶς, τὴν ἄρρητον δόξαν σου· ὅθεν τῆς αἰωνίου, ἡμᾶς δόξης μετόχους, δεῖξον Θεογεννῆτορ, τῇ θερμῇ σου πρεσβείᾳ, τοὺς πίστει ἀφορῶντας, πρὸς τὴν σὴν ἀντίληψιν.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῶν σῶν λειψάνων τὴν σορὸν τὴν ἁγίαν, ὁ τῶν Κυπρίων ἱερὸς Ἀρχιθύτης, νεύσει τῇ σῇ τῇ Κύπρῳ μετηγάγετο· ᾗ πιστῶς προστρέχοντες, ἐξ αὐτῆς πᾶσαν χάριν, πάντοτε καρπούμεθα, τῇ

θερμῇ σου πρεσβείᾳ, καὶ ἐκβοῶμεν χαῖρέ σοι ἀεί, νεομαρτύρων, Γεώργιε καύχημα.

Δόξα... Καὶ νῦν... Θεοτοκίον.

Θεογεννῆτορ ἀειπάρθενε Κόρη, ἡ τῶν ἀνθρώπων ἀσφαλὴς σωτηρία, καὶ τῶν Ἀγγέλων Βασιλὶς καὶ Δέσποινα, ῥῦσαι δεσποτείας με, τῆς πικρᾶς τοῦ βελίαρ, καὶ υἱόν με ποίησον, βασιλείας τῆς ἄνω, ἁμαρτημάτων ῥύπου χαλεποῦ, τῇ σῇ πρεσβείᾳ, τὸν νοῦν μου καθαίρουσα.

Σημ.: Εἰ βούλει εἰπεῖν Εὐαγγέλιον, ἀνάγνωθι τὸ κατωτέρω διαλαμβανόμενον.

Τὸ Α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ Ἤχου.

Προκείμενον, Ἦχος δ΄.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

Πᾶσα πνοή.

Τὸ Εὐαγγέλιον.

**Ἐκ τοῦ κατὰ Λουκᾶν.**
(Κεφ. ιβ΄ 2 - 12).

(Ζήτει τῇ Παρασκευῇ τῆς Ζ΄ Ἑβδομάδος Λουκᾶ).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Οὐδὲν συγκεκαλυμμένον ἐστίν, ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτόν, ὃ οὐ γνωσθήσεται...

Ὁ Ν΄ Ψαλμός.

Δόξα... Ταῖς τοῦ Ἀθλοφόρου...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με, ὁ Θεός...

Τὸ Ἰδιόμελον.

Ἦχος πλ. β΄.

Σήμερον ἡ Κύπρος ἀγάλλεται, τὴν ἱεράν σου μνήμην ἄγουσα, νεομάρτυς Γεώργιε· καὶ τὴν σορὸν τῶν λειψάνων σου ἀσπαζομένη, εὐλογίαις θείαις στεφανοῦται, καὶ δόξῃ ὡραΐζεται· ὅτι οὐ μόνον ἀρχαίων Ἀθλητῶν, ἀλλὰ καὶ νέων Μαρτύρων, μήτηρ δείκνυται μακαρία· ὧν ταῖς πρεσβείαις Χριστέ, δώρησαι ἡμῖν τὰ ἐλέη σου.

Οἱ Κανόνες. Ὁ τῆς τυχούσης Ἑορτῆς καὶ ὁ τοῦ Νεομάρτυρος, οὗ ἡ Ἀκροστιχίς·

Ἐν σοὶ Γεώργιε Κύπρος χαίρει. Γερασίμου.

Ὠδὴ α΄.

Ἦχος α΄. Ἀναστάσεως ἡμέρα.

Ἐν μοναῖς ταῖς οὐρανίαις, σὺν Μαρτύρων χοροῖς, Μάρτυς περιχορεύων, φῶς μοι παράσχου νοητόν, ταῖς λιταῖς σου πρὸς Χριστόν, ὑμνῆσαι φαιδρῶς, Γεώργιε ἔνδοξε, τὴν ἁγίαν σου ἄθλησιν.

Νέος ὤφθης Ἀθλοφόρος, ἐναθλήσας καλῶς, Μάρτυς ὑπὲρ τῆς δόξης, Χριστοῦ τοῦ πάντων Ποιητοῦ, καὶ τῶν πάλαι Ἀθλητῶν, λαμπρὸς μιμητής, μεθ' ὧν σε γεραίρομεν, νεομάρτυς Γεώργιε.

Σώματος ἐμπρέπων ἄνθει, νεανίας σεμνός, βίον ἄμεμπτον ἔχων, ὤφθης Γεώργιε σαφῶς, καὶ ἀθλήσας ἀνδρικῶς, Χριστῷ τῷ Θεῷ, ὡς θῦμα εὐπρόσδεκτον, προσηνέχθης καὶ ἄμωμον.

Θεοτοκίον.

Ὁ τῶν ὅλων βασιλεύων, καὶ Θεὸς τοῦ παντός, ᾤκησεν ἐν γαστρί σου, δι' ἀγαθότητα πολλήν, καὶ ἐκ σοῦ προελθών, Παρθένε Ἁγνή, Ἀδὰμ τὸν πρωτόπλαστον, τῆς κατάρας ἐρρύσατο.

Ὠδὴ γ΄.

Δεῦτε πόμα πίωμεν.

Ἴσχυσας δυνάμει τοῦ Χριστοῦ, ἐν νεότητος ὥρᾳ ἑλεῖν τὸν τύραννον, καὶ ἐναθλῆσαι καλῶς, ὑστέροις Γεώργιε καιροῖς· ἐντεῦθεν δεδόξασαι.

Γνώμῃ ἀντετάξω σταθηρᾷ, τῇ δεινῇ ἐπιθέσει τοῦ πολεμήτορος, καὶ ἀπεδύσω στεῤῥῶς, πρὸς ἄθλους ἁγίους Ἀθλητά, ἐνθέῳ φρονήματι.

Εἶχε μὲν τὸ πρὶν Πτολεμαΐς, τὰ σὰ λείψανα Μάρτυς ἔνδον τοῦ τάφου σου, νῦν δὲ αὐτὰ ἐν χαρᾷ, ἡ Κύπρος πλουτεῖ ἡ σὴ πατρίς, ἡ φίλη Γεώργιε,

Θεοτοκίον.

Ὤφθης τοῦ τῶν ὅλων Ποιητοῦ, ὑψηλότατος θρόνος θεοχαρίτωτε, ἐν ταῖς ἀγκάλαις ταῖς σαῖς, κρατοῦσα ὡς νήπιον Ἁγνή, τὸν πάντα κατέχοντα.

Τὸ Κοντάκιον τῆς Ἑορτῆς.

Κάθισμα τοῦ Ἁγίου.

Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Μαρτυρήσας νομίμως μάρτυς Γεώργιε, τῶν ἀνόμων τὸ θράσος καταπεπάτηκας, καὶ ἐδόξασας Χριστὸν οἰκείοις μέλεσι· διὸ τῆς δόξης κοινωνός, τῶν Μαρτύρων γεγονώς, δυσώπει ἀκαταπαύστως, ὑπὲρ τῶν πίστει τιμώντων, τὴν μακαρίαν σου ἄθλησιν.

Δόξα... Καὶ νῦν... τῆς τυχούσης Ἑορτῆς ἢ τὸ ἀκόλουθον Θεοτοκίον.

Προσλαβόμενος σάρκα ἐκ τῶν αἱμάτων σου, ὁ Ὑπερούσιος Λόγος Θεοῦ καὶ σύνθρονος, βροτὸς ὤφθη ἐπὶ γῆς μείνας ὃ πέφυκε, καὶ ἀνέπλασεν ἡμᾶς, συντριβέντας τῇ ἀρᾷ· διό σε ὑμνολογοῦμεν, Θεογεννῆτορ Παρθένε, ὡς σωτηρίας ἡμῶν πρόξενον.

Ὠδὴ δ'.

Ἐπὶ τῆς θείας φυλακῆς.

Ῥήσεσι Μάρτυς τῶν ἐχθρῶν, καὶ ἀπειλαῖς καὶ δωρεαῖς, μηδαμῶς τὸν νοῦν ὑποκλίνας, ἀρραγὴς καὶ ἄσειστος, διέμεινας Γεώργιε, καὶ ἤνυσας προθύμῳ καρδίᾳ, τοῦ μαρτυρίου τὸν δρόμον ἀνδρικώτατα.

Γνόντες τὸ ἄτρεπτον τῆς σῆς, οἱ δυσσεβεῖς Μάρτυς ψυχῆς, κατὰ σοῦ ὡς ἄγριοι θῆρες, μανικῶς ἐπέθεντο, καὶ ξίφεσιν ἐτίτρωσκον, τὸ σὸν ἀθλητικώτατον σῶμα, χαριτωθὲν τοῦ Σωτῆρος ἐν τοῖς στίγμασι.

Ἰσχὺν καὶ χάριν καὶ χαράν, λαμβάνομεν ὡς ἀληθῶς, πίστει προσιόντες τῇ θήκῃ, τῶν σεπτῶν λειψάνων σου, Γεώργιε πανεύφημε, ἃ ἤδη ὁ καλὸς Ποιμενάρχης, τῇ σῇ πατρίδι ὡς ὄλβον θεῖον ἤνεγκεν.

Θεοτοκίον.

Ἐκ πολυπλόκων πειρασμῶν, καὶ συμφορῶν παντοδαπῶν, φύλαττε ἡμᾶς Θεοτόκε, ἀσινεῖς δεόμεθα, τῇ κραταιᾷ δυνάμει σου· ὡς Μήτηρ γὰρ τοῦ πάντων Δεσπότου, ἔχεις ἰσχὺν ἀληθῶς ἀκαταμάχητον.

Ὠδὴ ε'.

Ὀρθρίσωμεν ὄρθρου.

Κυπρίων καλλώπισμα θεῖον, ὡς τοῦ Χριστοῦ στρατιώτης, καὶ μάρτυς στεφανηφόρος, Γεώργιε πέφηνας· διὸ τὴν θείαν μνήμην σου, Κύπρος γεραίρει τοῖς ᾄσμασιν.

Ὑψώσας τὰς χεῖρας Κυρίῳ, καὶ τὴν καρδίαν ἐβόας, Γεώργιε νεομάρτυς· Δέξαι ἐν τῇ δόξῃ σου, τὸ πνεῦμά μου Φιλάνθρωπε· ὅτι σὲ μόνον ἐπόθησα.

Προσέλθωμεν Κύπριοι πάντες, πίστει θερμῇ τοῖς λειψάνοις, τοῦ μάρτυρος Γεωργίου· ἐν αὐτοῖς ἡ χάρις γάρ, τοῦ Παναγίου Πνεύματος, μένει πιστοὺς ἁγιάζουσα.

Θεοτοκίον.

Ῥυσθῆναί με πάσης ἀνάγκης, Θεογεννῆτορ Παρθένε, δυσώπει τὸν προελθόντα, ἐξ ἁγνῶν λαγόνων σου, καὶ θεῖον φῶς δοθῆναί μοι, Κόρη θερμῶς ἱκετεύω σε.

Ὠδὴ ς'.

Κατῆλθες, ἐν τοῖς κατωτάτοις.

Ὁ νέος, Μάρτυς Χριστοῦ τοῦ Θεοῦ, φερωνύμως γεωργίας τῆς θείας, ὡς κλῆμα πανευθαλὲς καὶ σεπτόν, ὁ Γεώργιος, γεωργεῖ ἀθλητικῶς, εὐφροσύνης τὸν βότρυν.

Συνεῖδον, τρόμῳ πολλῷ οἱ ἐχθροί, τῆς θαλάσσης τὴν ὁρμὴν τῶν κυμάτων, καὶ φόβῳ ἄκοντες Μάρτυς Χριστοῦ, ὡμολόγησαν, τὴν σὴν ἄδικον σφαγήν, καὶ τὴν χάριν ἣν εὗρες.

Χριστός σε, Μάρτυς δοξάζων λαμπρῶς, οὐρανόθεν φωτεινὴν στήλην ἐκλάμπει, τῷ τάφῳ τῷ σῷ τρισὶν ἐν νυξί, καταλάμπουσαν, Ἀθλοφόρε θαυμαστῶς, τὴν περίοικον πόλιν.

Θεοτοκίον.

Ἀφράστως, τὸν Δημιουργὸν τοῦ παντός, σωματώσασα ἁγνὴ Θεοτόκε, ἐῤῥύσω ἡμᾶς τῆς πάλαι ἀρᾶς, καὶ ἠξίωσας, τὴν ζωὴν ἀπολαβεῖν, τὴν ἀρχαίαν Παρθένε.

Κοντάκιον.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἀθλητικῶς καταπαλαίσας τὸν ὄφιν, τοῦ μαρτυρίου ἐκομίσω τὸ στέφος, παρὰ Χριστοῦ Γεώργιε, ὅθεν σου τὴν ἔνδοξον, ἑορτὴν ἐκτελοῦμεν, καὶ περιπτυσσόμεθα, τὴν σορὸν τῶν λειψάνων, ἐξ ἧς πηγάζει πᾶσιν ἀληθῶς, ἴαμα θεῖον, ψυχῆς τε καὶ σώματος.

Ὁ Οἶκος.

Νεανικὴν ἄγων ἡλικίαν, ἀθλητικὴν ἐγεώργησας ἀξίαν, ἀγωνισάμενος καλῶς, ὑπὲρ τῆς δόξης τοῦ Χριστοῦ, ἐν τοῖς ὑστέροις καιροῖς, Γεώργιε πανεύφημε· ἤθεσι γὰρ κοσμούμενος σεμνοῖς, καὶ εὐσεβείας τῷ φωτί, ἐν φρονήσει πολλῇ, καὶ ἀνδρείᾳ ψυχικῇ, ὑπῆλθες τὸ μαρτύριον· καὶ ἀκλόνητος μείνας ταῖς ἀπειλαῖς τῶν δυσσεβῶν, καὶ παροχαῖς τῶν σφαλλομένων ἀγαθῶν, καρτερῶς ὑπέστης τὸν θάνατον, καὶ πρὸς ζωὴν ἀνέδραμες ἀθάνατον, μαρτυρικῆς δόξης ἀξιωθείς, ὡς Ἀθλητὴς Χριστοῦ περιφανής· διὸ νεύσει θείᾳ ὁ καλὸς ἡμῶν Ποιμὴν κινηθείς, τῶν λειψάνων σου τὴν σορόν, τῇ σῇ φίλῃ πατρίδι μετεκόμισεν· ᾗ πίστει προσιόντες οἱ Κύπριοι, χάριν καὶ ἔλεος κομιζόμεθα, καὶ ἴαμα θεῖον, ψυχῆς τε καὶ σώματος.

Συναξάριον.

Τῇ ΙΓ΄ τοῦ αὐτοῦ μηνός, Μνήμην ἐπιτελοῦμεν τοῦ ἁγίου ἐνδόξου νεομάρτυρος Γεωργίου τοῦ ἐκ Κύπρου καταγομένου, καὶ ἐν Πτολεμαΐδι κατὰ τὴν 25ην Ἀπριλίου 1752 ἀθλήσαντος· ἔτι δὲ μνείαν ἄγομεν τῆς ἐκ Πτολεμαΐδος Μετακομιδῆς εἰς Κύπρον τῶν σεπτῶν αὐτοῦ λειψάνων, γενομένης τῇ ΙΓ΄ Ἀπριλίου μηνὸς ἐν ἔτει 1967, τῇ προφρόνῳ μερίμνῃ τοῦ Ἀρχιεπισκόπου Κύπρου κυροῦ Μακαρίου τοῦ Γ΄.

Στίχοι.

Γεώργιος νῦν τῷ Γεωργίῳ ἅμα,
Νέος παλαιῷ συνετάχθη ἐνθάδε.

Εἰς τὴν Μετακομιδήν.

Δέχου ἡ Κύπρος τοῦ σοῦ κλεινοῦ υἱέος,
Ὡς ἄλλην κιβωτὸν σορὸν τῶν λειψάνων.

Δεκάτῃ τριτάτῃ ὀστέα Γεωργίοιο κόμισαν.

Οὗτος ὡρμᾶτο ἐκ Κύπρου, καὶ ἦν ὑπηρετῶν ὑπομίσθιος ἐν Πτολεμαΐδι τῆς Παλαιστίνης. Ἦν δὲ τῇ ἡλικίᾳ νέος, τῇ ὄψει εὐπρεπὴς καὶ ὡραῖος, τὸν νοῦν φρόνιμος καὶ συνετός, καὶ τοῖς ἤθεσι σώφρων καὶ σεμνός, καὶ τῇ πρὸς Χριστὸν εὐσεβείᾳ πιστός. Φθόνῳ τοῦ τοῖς καλοῖς βασκαίνοντος συκοφαντηθεὶς ὑπό τινων Ὀθωμανίδων, συνελήφθη ὑπὸ τῶν Ἀγαρηνῶν, ὑφ' ὧν πρὸς ἐξόμοσιν ἰσχυρῶς ἐβιάζετο. Ἀλλ' ἀτρέμως ἔχων πρὸς τὰς τούτων ἀπειλάς, καὶ ταῖς ποικίλαις αὐτῶν ἐπαγγελίαις καὶ δωρεαῖς ἀσάλευτος μείνας τῇ καλῇ ὁμολογίᾳ, θανάτῳ ὑπεβλήθη πικρῷ· φονικοῖς γὰρ ὅπλοις βληθείς, μαχαίραις ἅπαν κατετρώθη καὶ ἐτμήθη τὸ σῶμα, καὶ οὕτω τὸν τῆς μαρτυρίας δρόμον ἐπέρανεν, ἐν ἔτει σωτηρίῳ 1752 κατὰ μῆνα Ἀπρίλιον. Καὶ αὐτίκα θυέλλης μεγάλης ἐκραγείσης, νεύσει Θεοῦ, ἡ παρακειμένη θάλασσα τῇ ὁρμῇ ἐξήρχετο τῶν ὁρίων αὐτῆς, φθάνουσα ἄχρι τοῦ τόπου, οὗ τὸ μαρτυρικὸν ἔκειτο λείψανον. Τρόμῳ δὲ μεγάλῳ ληφθέντες οἱ ὁρῶντες ταῦτα Ἀγαρηνοὶ φυγῇ ἐχρήσαντο, τοῖς δὲ Χριστιανοῖς ἐπέτρεψαν λαβεῖν ἐκεῖθεν τὸ τοῦ Μάρτυρος σῶμα καὶ ταφῇ παραδοῦναι, ὃ καὶ γέγονεν. Ὁ δὲ Θεὸς τῆς δόξης δοξάζων τὸν αὐτοῦ καλλίνικον νεομάρτυρα Γεώργιον, ἐν τρισὶ νυξὶν ἐν φωτὶ οὐρανίῳ ἐλάμπρυνε τὸν τάφον αὐτοῦ, ὃ ὡς στήλη πυροειδὴς καὶ λαμπρὰ κατήρχετο οὐρανόθεν, ἔνθα τὸ μαρτυρικὸν κατέκειτο σῶμα, καταυγάζουσα πᾶσαν τὴν πόλιν.

Ἐν ἔτει δὲ σωτηρίῳ 1967, τῇ ΙΓ΄ Ἀπριλίου μηνός, ἱερᾷ ἐφέσει καὶ σεπτῇ ἐνεργείᾳ τοῦ Μακαριωτάτου Ἀρχιεπισκόπου Κύπρου κυροῦ Μακαρίου τοῦ Γ΄, ἐγένετο χερσὶν ὁσίαις ἡ εἰς Κύπρον μετακομιδὴ τῶν σεπτῶν τοῦ Μάρτυρος λειψάνων, ἅτινα πολλὴν εὐφροσύνην καὶ ἁγιασμὸν καὶ χάριν πηγάζουσι, τῇ ἐπισκιάσει τοῦ ἁγίου Πνεύματος, τοῖς εὐλαβῶς προσιοῦσιν αὐτοῖς.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μαρτίνου Πάπα Ῥώμης, τοῦ ὁμολογητοῦ, καὶ τῶν σὺν αὐτῷ Ἐπισκόπων.

Στίχοι.

Ὁ σὴν γεγηθὼς σάρκα, Σῶτερ, ἐσθίων,
Ἀπεκδύσει γέγηθε σαρκὸς Μαρτῖνος.

Ἀμφὶ τρίτῃ δεκάτῃ θάνε Μαρτῖνος περίπυστος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν ἁγίων μαρτύρων αξίμου, Κυντιλλιανοῦ καὶ Δάδα.

Στίχοι.

Τίνες κεφαλῶν οἵδε κείμενοι δίχα;
Κυντιλλιανός, Μαξιμός τε καὶ Δάδας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἁγίου μάρτυρος λευθερίου τοῦ Πέρσου.

Στίχοι.

Ἐλευθέριος οὐκ ἐδουλώθη πλάνῃ.
Ἐλεύθερος δὲ πρὸς ξίφους ἔστη στόμα.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἁγίου μάρτυρος εοδοσίου.

Στίχοι.

Θεοῖς προσοίσειν μηδαμῶς πεισθεὶς δόσιν,
Ἤχθη Θεοδόσιος τὴν ἐπὶ ξίφους.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἁγίου μάρτυρος οΐλου.

Στίχοι.

Τόξου βέλει, Ζωΐλε, πληγεὶς ἐν ξύλῳ,
Πλήττεις τὸν εἰσάξαντα τὴν φθορὰν ξύλῳ.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, έησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄.

Ὁ Παῖδας ἐκ καμίνου.

ἰσχὺν τὴν θεϊκὴν ἐνδυσάμενος, οὐδόλως κατέπτηξας, ἄλογον θυμόν, τῶν διωκόντων Ἀθλη-, ἀλλ' ἀνδρείως Κυρίῳ ἐκραύγαζες· Δέξαι μου πνεῦμα Σωτήρ μου, ὁ μόνος ὑπερένδοξος.

Ραγέντα τῆς θαλάσσης τὰ κύματα, τὴν χέρσον κατέκλυσαν, νεύσει θεϊκῇ, ἐπαπειλοῦντα ἀληθῶς, τοῖς ἀνόμοις Γεώργιε ὄλεθρον, ἡνίκα σε βιαίῳ θανάτῳ, μανίᾳ καθυπέβαλον.

Ἐν τάφῳ εὐσχημόνως κατέθεντο, τὸ τίμιον σῶμά σου, δῆμος εὐσεβῶν, ὅπερ δοξάζων ὁ Θεός, πυριμόρφῳ ἐν στύλῳ ὑπέδειξε, λαμπρῶς ἀπ' οὐρανοῦ ἥνπερ εὗρες, Γεώργιε λαμπρότητα.

Θεοτοκίον.

Λύσος παθημάτων καὶ θλίψεων, ἡμᾶς ἀπολύτρωσαι, Δέσποινα ἁγνή, καὶ μετανοίας φωτισμῷ, τὰς ψυχὰς καταλάμπρυνον Ἄχραντε, τῶν πίστει ἀδιστάκτῳ αἰνούντων, τὰ θεῖα μεγαλεῖά σου.

Ὠδὴ η΄.

Αὕτη ἡ κλητή.

Γέρας Ἀθλητῶν, ὡς ἀθλήσας νομίμως, καὶ στέφος ἀφθαρσίας, καὶ διάδημα δόξης, ἐκ χειρὸς τοῦ Χριστοῦ, ἐκομίσω νεομάρτυς Γεώργιε, καὶ τῆς αἰωνίου, χαρᾶς κατηξιώθης.

Ἔδωκας ἡμῖν, τοῖς ποθοῦσί σε Μάρτυς, τῶν θείων σου λειψάνων, τὴν μυστικὴν μυροθήκην, ὡς ζωῆς θησαυρόν, ἐκ θανάτου ἁμαρτίας ἐξαίρουσαν, τοὺς ὑμνολογοῦντας, τοὺς ἄθλους σου θεόφρον.

Ρόδον εὐανθές, καὶ νεόφυτον ἄνθος, ἐδείχθης Νεομάρτυς, τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ἀρδευθὲν δαψιλῶς, τῶν αἱμάτων σου τοῖς ῥείθροις Γεώργιε, καὶ εὐωδιάζεις, πιστῶν τὰς διανοίας.

Θεοτοκίον.

Ἄφραστος Ἁγνή, καὶ ἀπόρρητος πέλει, ὁ θεῖος τοκετός σου, ἅπαντα νοῦν καταπλήττων· ὁ Θεὸς γὰρ ἐκ σοῦ, σαρκωθεὶς ὑπερφυῶς πεφανέρωται, καὶ συνανεστράφη, βροτοῖς σῴζων τὸν κόσμον.

Ὠδὴ θ΄.

Φωτίζου, φωτίζου.

Στρατείας τῆς ἄνω, ὡς στρατιώτης τοῦ Χριστοῦ, συναρίθμιος ὤφθης, ἀθλητὰ Γεώργιε,

ὡς τοῦ ἐχθροῦ, καθελὼν τὴν ὀφρύν, καὶ τοῦ φωτός, τοῦ ἀκαταλήπτου, λαμπρῶς μετέχεις ἀγαλλόμενος.

Ἰδοὺ ἡ πατρίς σου, Κύπρος κατέχουσα χερσί, τὰ σὰ λείψανα Μάρτυς, ἐν χαρᾷ κραυγάζει σοι· Σύ μου υἱός, ἐκλεκτὸς Ἀθλητά, καὶ τοῖς στεῤῥοῖς, ἄθλοις σου καυχῶμαι, Χριστῷ μεσίτην σε προβάλλουσα.

Μαρτύρων τῶν πάλαι, τὸν ζῆλον καὶ τὴν ἀρετήν, μιμησάμενος Μάρτυς, ἐν ὑστέροις ἔτεσι, τῆς ἐν αὐτοῖς, ὑπερτίμου τιμῆς, συγκοινωνός, ὤφθης Νεομάρτυς, Γεώργιε καὶ ἰσότιμος.

Ὁλόφωτον αἴγλην, εἰσδεδεγμένος Ἀθλητά, ἐν σκηναῖς οὐρανίοις, σὺν Ἀγγέλων τάξεσι, τὸν σκοτασμόν, τῶν πολλῶν μου παθῶν, σκέδασον νῦν, τὸν ὕμνον μου τοῦτον, οἷα μικρὸν δῶρον δεχόμενος.

Θεοτοκίον.

Υἱὸν τοῦ Ὑψίστου, υἱόν σου ἔσχες ἀληθῶς, σαρκωθέντα ἀτρέπτως, ἐξ ἁγνῶν αἱμάτων σου· τίς οὖν Ἁγνή, μεγαλεῖον τῶν σῶν, τὴν ὑπὲρ νοῦν, δόξαν ἀνυμνήσει; ἀλλ᾽ ἡμῶν δέχου τὴν προαίρεσιν.

Ἐξαποστειλάριον.

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τὴν ἱεράν σου ἄθλησιν, ὕμνοις ἀνευφημοῦμεν, καὶ τὴν σεπτὴν μετάθεσιν, τῶν λειψάνων σου ἅμα, γεραίρομεν Νεομάρτυς· ὅτι δέδωκας ταῦτα, τῇ σῇ πατρίδι Ἅγιε, ὡς θησαύρισμα θεῖον ἁγιασμόν, ψυχῶν βλύζοντα ἅπασι καὶ σωμάτων, Γεώργιε πανεύφημε, Κύπρου βλάστημα θεῖον.

Καὶ τῆς Ἑορτῆς ἢ τὸ ἀκόλουθον Θεοτοκίον.

Ὑπερφυῶς κυήσασα, τὸν Σωτῆρα τῶν ὅλων, καὶ μετὰ τόκον ἄφθορος, μείνασα ὡς πρὸ τόκου, φθορᾶς θανάτου τὸν κόσμον, καὶ ἀρᾶς τῆς ἀρχαίας, ἀπήλλαξας Πανάμωμε, καὶ ζωῆς τῆς ἀγήρω αὖθις Ἁγνή, πάντας κατηξίωσας τοὺς ὑμνοῦντας, τὴν θαυμαστήν σου γέννησιν, καὶ ἀνέκφραστον Κόρη.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὸν Νεομάρτυρα δεῦτε πάντες Γεώργιον, τῆς θείας γεωργίας, τὸ κατάκαρπον δένδρον, ὑμνήσωμεν συμφώνως βοῶντες αὐτῷ· Χαῖρε ἄστρον νεόφωτον, τὸ ἐκ τῆς Κύπρου ἐκλάμψαν περιφανῶς, μαρτυρίου τοῖς παλαίσμασι.

Μαρτυρικῶς τὸν ἀγῶνα τελέσας ἔνδοξε, διὰ πικροῦ θανάτου, πρὸς ζωὴν τὴν ἀγήρω, ἀνέπτης νικηφόρος· ὅθεν Χριστός, μεγαλύνων τοὺς ἄθλους σου, τῷ ἐκβρασμῷ τῆς θαλάσσης τοὺς δυσσεβεῖς, κατεπόντισε Γεώργιε.

Ἀπ᾽ οὐρανοῦ κατιόντι μέχρι τοῦ τάφου σου, ἐν πυριμόρφῳ στύλῳ τὴν σὴν ἄῤῥητον δόξαν, ὑπέδειξε τοῖς πᾶσι Χριστὸς ὁ Θεός, Νεομάρτυς Γεώργιε, ὃν ἐκδυσώπει ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν τιμώντων σου τὴν ἄθλησιν.

Τὰ ἱερὰ λείψανά σου Μάρτυς Γεώργιε, ἐκ τῆς Πτολεμαΐδος, πρὸς τὴν πάτριον χθόνα, μετήγαγον Ποιμένος ἡμῶν τοῦ καλοῦ, τῇ βουλῇ μετὰ πίστεως· ὅθεν ἡ Κύπρος χορεύει πνευματικῶς, ἑορτάζουσα τὴν μνήμην σου.

Δόξα... Ἦχος πλ. α΄.

Ὡς ἀστὴρ νεοφανής, τῇ Ἐκκλησίᾳ ἀνέτειλας, τῇ σῇ ἀθλήσει Γεώργιε· καὶ τῷ φωτὶ τῶν ἄθλων σου, τῆς ἀθυμίας τὴν κατήφειαν λύεις, καὶ πάντας παιδεύεις, μηδὲν προτιμᾶν τῆς θείας ἀγάπης, ἀλλὰ προθύμως θνήσκειν, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ. Διὸ Κύπρος ἡ σὲ βλαστήσασα, σεμνύνεται τῇ δόξῃ σου· καὶ ὡς ὄλβον οὐράνιον, τὰ σὰ σεπτὰ λείψανα δεξαμένη, λαμπρὰν συγκροτεῖ σοι ἑορτήν, δοξάζουσα Χριστόν, τὸν παρέχοντα διὰ σοῦ, εἰρήνην πᾶσι καὶ θεῖον ἔλεος.

Καὶ νῦν... Θεοτοκίον. Μακαρίζομέν σε, ἢ τῆς τυχούσης Ἑορτῆς.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τῆς Ἑορτῆς Ὠδὴ γ' καὶ τοῦ Νεομάρτυρος ἡ ς'.

Ὁ Ἀπόστολος.

Προκείμενον, Ἦχος βαρὺς (Ψαλμ. ξγ').

Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ.

Στίχ. Εἰσάκουσον ὁ Θεός, τῆς φωνῆς μου.

**Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.**

(Κεφ. η' 28-39).

(Ζήτει τῇ 2ᾳ Σεπτεμβρίου).

Ἀδελφοί, οἴδαμεν ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν· ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε, καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν, οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε.
Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν; Ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν· τίς ὁ κατακρίνων; Χριστὸς ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθείς, ὃς καὶ ἔστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν. Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; Θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα; Καθὼς γέγραπται ὅτι ἕνεκέν σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε δυνάμεις οὔτε ἐνεστῶτα οὔτε μέλλοντα οὔτε ὕψωμα οὔτε βάθος οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ἀλληλούϊα (γ'), Ἦχος βαρὺς (Ψαλμ. ϟα').

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

Τὸ Εὐαγγέλιον.

**Ἐκ τοῦ κατὰ Ματθαῖον.**

(Κεφ. ι' 16-22).

(Ζήτει τῇ Τετάρτῃ τῆς Γ' Ἑβδομάδος Ματθαίου).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων...

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Χαίροις ὁ τῆς Κύπρου θεῖος βλαστός, Γεώργιε νέε, ἀθλοφόρε τοῦ Ἰησοῦ· χαίροις ὁ λαμπρύνας, τὴν πάτριόν σου χθόνα, τῇ μετενέξει μάρτυς, τῇ τῶν λειψάνων σου.

Δίστιχον.

Γεωργεῖν, Γεώργιε, ζωὴν τὴν κρείττω,
Γερασίμῳ δὸς ὑμνοῦντί σου τοὺς ἄθλους.